# ΑΚΟΛΟΥΘΙΑ ΠΑΡΑΚΛΗΣΕΩΣ

## ΤΟΥ ΕΝ ΑΓΙΟΙΣ ΠΑΤΡΟΣ ΗΜΩΝ

# ΝΙΚΟΛΑΟΥ

## ΑΡΧΙΕΠΙΣΚΟΠΟΥ ΜΥΡΩΝ ΤΗΣ ΛΥΚΙΑΣ

ΤΟΥ

## ΘΑΥΜΑΤΟΥΡΓΟΥ.

ΣΥΝΤΕΘΕΙΣΑ

ΥΠΟ

ΝΙΚΟΛΑΟΥ ΑΝΑΓΝΩΣΤΟΥ ΚΑΛΟΓΕΡΟΥ

ΓΕΝΝΑΔΕΙΟΣ ΒΙΒΛΙΟΘΗΚΗ
ΣΥΛΛΟΓΗ ΝΤΟΡΗΣ ΠΑΠΑΣΤΡΑΤΟΥ

ΕΝ ΚΕΡΚΥΡΑι
ΤΥΠΟΓΡΑΦΕΙΟΝ «ΑΘΗΝΑ»
ΑΡΣΕΝΙΟΥ ΚΑΟΥ

1871.

ΑΝΤΩΝΙΩι

ΤΩι ΠΑΝΙΕΡΩΤΑΤΩι ΑΡΧΙΠΟΙΜΕΝΙ

ΚΕΡΚΥΡΑΣ

ΕΜΩι ΔΕ ΠΝΕΥΜΑΤΙΚΩι ΠΑΤΡΙ ΚΑΙ

ΠΡΟΣΤΑΤΗι

ΒΑΘΥΤΑΤΟΥ ΤΕ ΣΕΒΑΣΜΟΥ ΚΑΙ ΖΩΗΡΑΣ

ΕΥΓΝΩΜΟΣΥΝΗΣ ΕΝΕΚΕΝ

ΤΟ ΕΛΑΧΙΣΤΟΝ ΤΟΥΤΟ ΠΟΝΗΜΑ

ΤΟ ΕΝ ΠΕΙΘΗΝΙΟΙΣ ΕΝ ΧΡΙΣΤΩι ΑΥΤΟΥ ΤΕΚΝΟΝ

ΝΙΚΟΛΑΟΣ ΑΝΑΓΝΩΣΤΗΣ ΚΑΛΟΓΕΡΟΣ

ΑΝΑΤΙΘΗΣΙΝ.

ΓΕΝΝΑΔΕΙΟΣ ΒΙΒΛΙΟΘΗΚΗ

Πανιερώτατε,

Ἡ θεία Πρόνοια ἡ τὰ πάντα πρὸς τὸ συμφέρον οἰκονομοῦσα, ηὐδόκησεν ὅπως προαγάγῃ τὴν Ὑμετέραν Πανιερότητα εἰς τὸν ὑψηλὸν βαθμὸν τοῦ ἐπιζήλου Ἀρχιερατικοῦ ἀξιώματος ἐπιθεῖσα Αὐτὴν διὰ παντοίων εὐαγγελικῶν χαρισμάτων πεποικιλμένην ὡς φωτοβόλον λύχνον ἐπὶ τῆς λυχνίας, ἵνα προχέῃ εἰς ἅπαν τὸ χριστεπώνυμον πλήρωμα τῆς περικλεοῦς Κερκύρας τὸ ζωογόνον φῶς τῆς εὐσεβείας, τῆς ἀρετῆς καὶ τῆς χρηστότητος.

Ὅθεν κἀγὼ ὁ πάντων ἐλάχιστος ἀξιωθεὶς τῆς πατρικῆς σκέπης καὶ προστασίας τῆς Ὑμετέρας Πανιερότητος καὶ ἐνθαρρυνόμενος ἐκ τῆς ὁρμεμφύτου Αὐτῆς ἐπιεικείας καὶ ἀγαθότητος, ἀποτολμῶ ὅπως προσενέγκω Αὐτῇ, ὡς σμικρότατον μαρτύριον τῆς υἱϊκῆς στοργῆς μου καὶ τῆς βαθυτάτης ἀφοσιώσεώς μου, τὴν ἀπαρχὴν ταύτην τῶν περὶ τὰ Ἱερὰ Γράμματα Μελετημάτων μου, εὐελπιστῶν, ὅτι ἡ Ὑμετέρα Πανιερότης ἐνθέῳ ζήλῳ ἐλαυνομένη πρὸς ἠθικὴν καὶ θρησκευτικὴν ἀνάπτυξιν τοῦ ἐμπεπιστευμένου Αὐτῇ ὀρθοδόξου Ποιμνίου, καὶ συντόνως ἐπιδιώκουσα πᾶν εἴτι συντείνει εἰς ἐποικοδόμησιν αὐτοῦ, θέλει εὐμενῶς ἐπιτρέψειν ὅπως τὴν κεφαλίδα τοῦ πρὸς ψυχωφελῆ σκοπὸν συντεταγμένου τούτου πονηματίου μου ἐπικοσμῇ τὸ σεπτὸν Αὐτῆς Ὄνομα, ἀφορῶσα οὐχὶ εἰς τὸ εὐτελὲς τοῦ ἔργου μου, ἀλλ' εἰς τὸ ἁγνὸν τῆς ἐμῆς προαιρέσεως τοῦ νὰ συντελέσω κἀγὼ ἐκ τῶν ἐνόν-

των πρὸς καταρτισμὸν καὶ στήριξιν τῶν θρησκευτικῶν τῆς κοινωνίας αἰσθημάτων.

Διαβεβαιοῦμαι μετὰ βαθυτάτου σεβασμοῦ καὶ υἱϊκῆς ἀφοσιώσεως

Εὐπειθὲς ἐν Χριστῷ τέκνον

Νικόλαος Ἀναγνώστης Καλόγερος.

Ἐν Κερκύρᾳ τῇ 4 Μαΐου 1871.

## Ἀρχιεπισκοπεῖον Κερκύρας

Τῇ 26 Μαΐου 1871.

Λογιώτατε,

Ἀναγνόντες τὴν παρ' Ὑμῶν παρουσιασθεῖσαν Ἡμῖν ἀναφορὰν, καὶ τὸν πρὸς ἐκτύπωσιν συντεθέντα Παρακλητικὸν Κανόνα εἰς τὸν Ἅγιον Νικόλαον σπεύδομεν ἀναγγεῖλαι Ὑμῖν, ὅτι ἐπερειδόμενοι εἴς τε τὴν εὐαγγελικὴν ὑμῶν πολιτείαν, καὶ εἰς τὴν περὶ τὰ Ἱερὰ γράμματα ἔμφυτον ὑμῶν τάσιν, ἧς ὁσημέραι διαυγῆ δείγματα Ἡμῖν παρέχετε, ἐπεδοκιμάσαμεν τὴν τούτου ἔκδοσιν καὶ συστάσεως ἄξιον τοῦτον ἐκρίναμεν παρὰ τῷ λογικῷ Ἡμῶν ποιμνίῳ, καθόσον διὰ τοιούτων θεοφιλῶν ἔργων, οὐ μόνον πολὺς ὁ πνευματικὸς καρπὸς τῇ Ὀρθοδόξῳ ἡμῶν Ἐκκλησίᾳ ἀποφέρεται, ἀλλὰ καὶ παρ' ὑμῖν ἀναζωπυρεῖται ὁ θρησκευτικὸς ζῆλος πρὸς τὴν ἔτι μειζόνων καὶ σπουδαιοτέρων ἔργων ἐπιχείρησιν καὶ εὐόδωσιν.

Τῆς σῆς λογιότητος διάπυρος πρὸς Θεὸν εὐχέτης

† Ὁ Κερκύρας ΑΝΤΩΝΙΟΣ.

Πρὸς τὸν Ἐλλόγιμον Κύριον
Νικόλαον Ἀναγνώστην Καλόγερον
κτλ. κτλ. κτλ.

# ΚΑΝΩΝ ΠΑΡΑΚΛΗΤΙΚΟΣ

ΕΙΣ ΤΟΝ

ΟΣΙΟΝ ΚΑΙ ΘΕΟΦΟΡΟΝ ΙΕΡΑΡΧΗΝ

# ΑΓΙΟΝ ΝΙΚΟΛΑΟΝ

Εὐλογήσαντος τοῦ Ἱερέως, ἀρχόμεθα στιχολογεῖν, τὸ, Κύριε εἰσάκουσον, τὸ, Θεὸς Κύριος καὶ ψάλλομεν τὰ παρόντα Τροπάρια ἦχος δ'.

Τῷ Ἱεράρχῃ Νικολάῳ προσδράμωμεν, οἱ ἐν κινδύνοις τοῦ βίου ποντούμενοι, ἐν καθαρᾷ καρδίᾳ κράζοντες πρὸς αὐτὸν, Ἅγιε Νικόλαε, ἐκτενεῖ Σου πρεσβείᾳ, φρούρει καὶ διάσωζε τοὺς Σοῦ τιμῶντας τὴν μνήμην, καὶ γεραίροντάς Σε πόθῳ, ὡς Μαθητὴς Χριστοῦ ἀξιάγαστος.

Δόξα ὅμοιον.

Τῆς Ἐκκλησίας ἐδείχθης ὑπέρμαχος, καὶ τῶν θαυμάτων πηγὴ ἡ ἀκένωτος· ὅθεν Σοι προσπίπτομεν, ἐν κατανύξει βοῶντες, Ἅγιε Νικόλαε, τῇ κραταιᾷ Σου δυνάμει πρόφθασον ἐξελοῦ ἡμᾶς τῶν τοῦ βίου κλυδώνων καὶ πειρασμῶν, καὶ τῆς οὐρανίου βασιλείας ἡμᾶς καταξίωσον.

Καὶ νῦν Θεοτοκίον.

Οὐ σιωπήσομεν ἀεὶ Θεοτόκε κτλ. Εἶτα ὁ Ν'. καὶ εὐθὺς ὁ Κανὼν τοῦ Ἁγίου.

Ὠδὴ, α'. ἦχος πλ. δ'. Ὑγρὰν διοδεύσας ὡσεὶ ξηράν.

Ἅγιε τοῦ Θεοῦ πρέσβευε ὑπὲρ ἡμῶν.

Νικόλαε Μάκαρ θαυματουργὲ, Χριστῷ προσηνέχθης ὁλοκαύτωμα μυστικὸν, τὴν πίστιν τηρήσας ἄτρεπτόν τε τὴν σωτηρίαν, Τρισμακάριστε.

Ἅγιε τοῦ Θεοῦ πρέσβευε ὑπὲρ ἡμῶν.

Πάντα Σὺ ὑπέταξας τῷ Χριστῷ, Νικόλαε Μάκαρ, τὴν καρδίαν καὶ τὴν ψυχὴν πανάμωμον ἔσχες καὶ τὸν βίον, ἐν ἀρεταῖς κατατρυφόμενος.

Δόξα.

Ἐξήνθησας Πάτερ ἀειθαλής, ὡς κέδρος Λιβάνου, εὐκαρπίᾳ ἀθλητικῇ πάντων τὰς καρδίας διατρέφων τῶν Σὲ τιμώντων, Σοφὲ Νικόλαε.

Καὶ νῦν. Θεοτοκίον.

Δοχεῖον Παρθένε θεοπρεπές, φωτὸς ἀϊδίου γενομένη καὶ καθαρόν, κηλίδων καὶ πάσης ἁμαρτίας τοὺς Σοὺς ἱκέτας ἀποκάθαρον.

Ὠδὴ, γ΄. Οὐρανίας ἁψῖδος.

Ἅγιε τοῦ Θεοῦ πρέσβευε ὑπὲρ ἡμῶν.

Ἀρχιερεὺς ὑπάρχων, ἀγωνιστὴς ἄριστος, ἔσπειρας τῷ κόσμῳ τῆς εὐσεβείας διδάγματα, ὅθεν ἀπαύστως τε Σὲ ἀνυμνεῖ Ἐκκλησία, καὶ Σοὶ στέφει τὴν μνήμην, ἀοίδιμε.

Ἅγιε τοῦ Θεοῦ πρέσβευε ὑπὲρ ἡμῶν.

Ἐν Συνόδῳ παρέστης, ἀγακλεὴς πρόμαχος, πᾶσαν τε τῶν αἱρέσεων πλάνην κατήσχυνας, καὶ ἐχρημάτισας Τριαδικὸς θεολόγος, τῇ δυνάμει Πνεύματος, σοφὲ Νικόλαε.

Δόξα.

Οὐρανίων χαρίτων, ἐπιτυχεῖν ἔσπευσας, ὅθεν τῷ καλοῦντι, θεόφρον, ἐπηκολούθησας, ῥύστης δὲ γέγονας χειμαζομένων θαλάσσῃ, καὶ λιμὴν ἀκύμαντος Θεομακάριστε.

Καὶ νῦν. Θεοτοκίον.

Παναγία Παρθένε, τὸν λυτρωτὴν τέξασα, λύτρωσαι πάντας ἐκ κινδύνων τοὺς Σοὶ προστρέχοντας, καὶ ἀνυμνοῦντάς Σε, Θεοκυῆτορ Μαρία, τῶν πιστῶν βοήθεια μόνη Πανύμνητε.

Διάσωσον ἀπὸ κινδύνων, Νικόλαε, Σοὺς ἱκέτας, ὅτι πάντες παρὰ



Θεοῦ, Σὲ μέγαν κεκτήμεθα, ἄγρυπνον φύλακα καὶ ῥύστην.

Ἐπίβλεψον ἐν εὐμενείᾳ, Πανύμνητε Θεοτόκε, ἐπὶ τὴν ἐμὴν χαλεπὴν τοῦ σώματος κάκωσιν, καὶ ἴασαι τῆς ψυχῆς μου τὸ ἄλγος.

Αἴτησις παρὰ τοῦ Ἱερέως, καὶ ἐκφώνησις, ὅτι ἐλεήμων, καὶ φιλάνθρωπος Θεός. Καὶ τὸ παρὸν Τροπάριον ἦχος β΄.

Τὰ ἄνω ζητῶν.

Ποιμὴν ὁ καλὸς, ἐδείχθης ὦ Θεοπέσιε, καρποὺς τῷ Θεῷ ἀρετῶν προσενήνοχας, τὸν σταυρὸν ἐπ' ὤμων ἀράμενος, καὶ ἐγκρατείᾳ τὸν νοῦν καθωράϊσας, ὅπως οὐρανίων κτήσῃ τὴν ἀπόλαυσιν.

Ὠδὴ, δ΄. Εἰσακήκοα Κύριε.

Ἅγιε τοῦ Θεοῦ πρέσβευε ὑπὲρ ἡμῶν.

Σὺ προστάτης γινόμενος, πάντα τὸν ἐν θλίψει κατατρυχόμενον, μεσιτείαις Σου ἀπάλλαξον, δι' ἧς πάντας τρέφεις τοὺς τιμῶντάς Σε.

Ἅγιε τοῦ Θεοῦ πρέσβευε ὑπὲρ ἡμῶν.

Ὡς ποιμὴν γνησιώτατος, καὶ τῶν ἀρετῶν παράδεισος ἔμψυχος, τὴν Ἐκκλησίαν ἐκόσμησας, καὶ χαρὰν ἀγήρω Σὺ ἀπείληφας.

Δόξα.

Γηθοσύνως διένειμας, πάντα τὰ ὑπάρχοντα πενητεύουσι, τὴν ἀσύλητον δεχόμενος, τὴν ἐν Οὐρανῷ ἀνταπόδοσιν.

Καὶ νῦν. Θεοτοκίον.

Ἱκετεύω Σε Δέσποινα, σὺν τῷ Νικολάῳ προσδέχου δεήσεσιν, ὀφλημάτων μου συγχώρησιν, καὶ τῆς βασιλείας καταξίωσον.

Ὠδὴ, ε. Ἵνα τί με ἀπώσω.

Ἅγιε τοῦ Θεοῦ πρέσβευε ὑπὲρ ἡμῶν.

Ἀνεδείχθης γὰρ ὄντως, τῆς Ὀρθοδοξίας ἀνερμήνευτον καύχημα, δρόσον ἐπιχέων, τῆς ἀγάπης καὶ πίστεως, ἐγκρατείας τύπος, καὶ ἱλασμὸς τῶν ἀνυμνούντων, καὶ σεβόντων τὴν μνήμην Σου, Ὅσιε.

ΓΕΝΝΑΔΕΙΟΣ ΒΙΒΛΙΟΘΗΚΗ · ΣΥΛΛΟΓΗ ΝΤΟΡΗΣ ΠΑΠΑΣΤΡΑΤΟΥ

Ἅγιε τοῦ Θεοῦ πρέσβευε ὑπὲρ ἡμῶν.

Μύστης τῆς Πανάγνου καὶ Ἁγίας Τριάδος ὑπάρχων, Ὅσιε, τὸ βάρος Σὺ ὑπέστης καὶ ἡμέρας τὸν καύσωνα, ὅθεν τῇ ἑσπέρᾳ τῆς ἐκ τοῦ βίου ἐκδημίας τὸν μισθὸν τοῦ Κυρίου ἀπείληφας.

Δόξα.

Ὡς μύρων εὐωδία, Σὺ τῶν Ὀρθοδόξων καρδίας κατέθελξας, πᾶσιν ἀπονέμων τὴν ἀέναον χάριν καὶ λύτρωσιν· ὅθεν ἀνυμνοῦσι καὶ μετὰ πόθου Σε τιμῶσι, τὴν Σὴν ἐξαιτούμενοι βοήθειαν.

Καὶ νῦν. Θεοτοκίον.

Τὸν ἀχώρητον λόγον, ἄνθρωπον γενόμενον ἐν Σοὶ ἐχώρησας, ὃν ἀεὶ δυσώπει, ὡς υἱόν Σου Παρθένε καὶ Κύριον, πάσης ἐναντίας, ἐπιβουλῆς νῦν ἀπαλλάξαι, τοὺς σοὺς δούλους ἁγνὴ Θεονύμφευτε.

Ὠδὴ, ϛ΄. Ἱλάσθητί μοι Σωτήρ.

Ἅγιε τοῦ Θεοῦ πρέσβευε ὑπὲρ ἡμῶν.

Ἐνεπιστεύθη ἐν Σοὶ, τῆς Ἐκκλησίας τοὺς οἴακας, ὁ Κυβερνήτης Χριστὸς, ὡς ἄριστος ναύκληρος, καὶ ταύτην τῷ Πνεύματι εἰς λιμένα θεῖον, Μυστολέκτα, καθωδήγησας.

Ἅγιε τοῦ Θεοῦ πρέσβευε ὑπὲρ ἡμῶν.

Πλουσίως παρὰ Θεοῦ, τὴν χάριν ἔσχες, Νικόλαε, ἐδόξασας τὸν Χριστὸν, ἀτρύτων ἀγώνων Σου, τὸ μόνον ἐράσμιον ἀγαπήσας κάλλος, Παραδείσου, Τρισμακάριστε.

Δόξα.

Ναμάτων Σὺ πληρωθεὶς, τοῦ θείου Πνεύματος, Ὅσιε, ὡς ποταμὸς τῆς Ἐδὲμ πεπόρευσαι ἄφθονος τῆς γῆς τὰ πληρώματα περιεπικλύζων καὶ καρδίας, Ἱερώτατε.

Καὶ νῦν. Θεοτοκίον.

Ἡ κλίμαξ τοῦ Ἰακὼβ, σὲ προετύπου Πανάχραντε· ἐκδυσωποῦσα Ἁγνὴ, μὴ παύσῃ τὸν Κύριον· Σὲ μόνην ὀχύρωμα καὶ ἀγαθὴν σκέπην, οἱ Σοὶ δοῦλοι προσκεκτήμεθα.



Διάσωσον ἀπὸ κινδύνων, Νικόλαε, σοὺς ἱκέτας, ὅτι πάντες παρὰ Θεοῦ Σὲ μέγαν κεκτήμεθα ἄγρυπνον φύλακα καὶ ῥύστην.

Ἄχραντε, ἡ διὰ λόγου τὸν λόγον ἀνερμηνεύτως ἐπ' ἐσχάτων τῶν ἡμερῶν τεκοῦσα, δυσώπησον ὡς ἔχουσα μητρικὴν παρρησίαν.

Αἴτησις παρὰ τοῦ Ἱερέως, καὶ μετὰ τὴν ἐκφώνησιν τὸ παρὸν Κοντάκιον ἦχος ϐ΄.

Προστασία τῶν Χριστιανῶν.

Τὸν Μέγαν Χριστοῦ Μυστολέκτην Νικόλαον τὸν ἐν θαλάσσης σάλῳ θερμὸν ἀντιλήπτορα, ἐν κατανύξει καρδίας δράμωμεν οἱ πιστοὶ, καὶ ἐν πόθῳ κράξωμεν αὐτῷ, Μὴ παρίδῃς Σῶν ἱκετῶν τὰς δεήσεις, Θεόληπτε, τάχυνον εἰς πρεσβείαν καὶ σῶσον τοὺς ἀνυμνοῦντας καὶ μετὰ πόθου τιμῶντας τὴν Σὴν μνήμην Τρισμακάριστε.

Οἱ ἀναβαθμοὶ, τὸ α΄. ἀντίφωνον τοῦ δ΄. ἤχου.

Ἐκ νεότητός μου πολλὰ πολεμεῖ με πάθη, ἀλλ' αὐτὸς ἀντιλαβοῦ καὶ σῶσον Σωτήρ μου. Δίς.

Οἱ μισοῦντες Σιὼν, αἰσχύνθητε ἀπὸ τοῦ Κυρίου, ὡς χόρτος γὰρ πυρὶ ἔσεσθε ἀπεξηραμένοι. Δίς.

Δόξα.

Ἁγίῳ Πνεύματι, πᾶσα ψυχὴ ζωοῦται, καὶ καθάρσει ὑψοῦται λαμπρύνεται, τῇ Τριαδικῇ Μονάδι ἱεροκρυφίως.

Καὶ νῦν.

Ἁγίῳ Πνεύματι, ἀναβλύζει τὰ τῆς χάριτος ῥεῖθρα, ἀρδεύοντα, ἅπασαν τὴν Κτίσιν, πρὸς ζωογονίαν.

Καὶ εὐθὺς τὸ Προκείμενον.

Τίμιος ἐναντίον Κυρίου ὁ θάνατος τοῦ Ὁσίου.

Στιχ. Τί ἀνταποδώσωμεν τῷ Κυρίῳ.

Τοῦ Κυρίου δεηθῶμεν. Ὅτι ἅγιος εἶ ὁ Θεός.

Τὸ, πᾶσα πνοή. Καὶ τὸ Εὐαγγέλιον, κατὰ Ἰωάννην ὁ μὴ εἰσερχόμενος διὰ τῆς θύρας. Δόξα. Ταῖς τοῦ Ἱεράρχου πρεσβείαις.

Καὶ νῦν. Ταῖς τῆς Θεοτόκου.

Στιχ. Ἐλεήμων ἐλεησόν με ὁ Θεὸς κατὰ τὸ μέγα ἔλεός σου.

Καὶ τὸ παρὸν Ἰδιόμελον Ἦχος πλ. ϐ΄.

Πάτερ Ἱεράρχα Νικόλαε, τῶν Ὀρθοδόξων χοροὶ, πιστῶς ἀναμέλπομεν, ἐπὶ τὴν Σὴν γὰρ καυχώμεθα ἀδιάλειπτον βοήθειαν, ὅθεν τὴν

ΓΕΝΝΑΔΕΙΟΣ ΒΙΒΛΙΟΘΗΚΗ ΣΥΛΛΟΓΗ ΝΤΟΡΗΣ ΠΑΠΑΣΤΡΑΤΟΥ

θείαν Σου, καὶ σεβάσμιον μνήμην εὐλαβῶς ἑορτάζοντες, δυσωποῦμέν Σε, τὸν Θεὸν ἱκετεύειν ὑπὲρ τῶν ψυχῶν ἡμῶν.

Ὁ Ἱερεύς. Σῶσον ὁ Θεὸς τὸν λαόν σου Τὸ, Κύριε ἐλέησον ιβ'.

ἐκφώνησις. Ἐλέει, καὶ οἰκτιρμοῖς κτλ.

Ὠδὴ, ζ'. Οἱ ἐκ τῆς Ἰουδαίας.

Ἅγιε τοῦ Θεοῦ πρέσβευε ὑπὲρ ἡμῶν.

Παρεστὼς τῇ Τριάδι, δέχου τὰς δεήσεις Σῶν δούλων Θεόληπτε, Νικόλαε Τρισμάκαρ, ἀπάλλαξον κινδύνων τοὺς ἐν πίστει κραυγάζοντας, ὁ τῶν Πατέρων ἡμῶν Θεὸς εὐλογητὸς εἶ.

Ἅγιε τοῦ Θεοῦ πρέσβευε ὑπὲρ ἡμῶν.

Παρέσχες τῷ Κυρίῳ, σεαυτὸν ἐν ἁγνείᾳ καὶ ὁσιότητι κατέβαλες δὲ, Πάτερ, τῶν ἀντιδοξούντων τὴν ὀφρὺν καὶ τὰ φρυάγματα. Ὁ τῶν Πατέρων βοῶν Θεὸς εὐλογητὸς εἶ.

Δόξα.

Τὴν τοῦ Πνεύματος αἴγλην, ὅλην ὑποδέδεξαι, Πάτερ Νικόλαε, Ἀρχιερεὺς ὑπάρχων, καὶ φωστὴρ Ὀρθοδόξων, τῶν ἐν πίστει τιμώντων Σε. Ὁ τῶν Πατέρων βοῶν Θεὸς εὐλογητὸς εἶ.

Καὶ νῦν Θεοτοκίον.

Ἀμόλυντε Παρθένε, ἡ τὸν ἀχώρητον ἀγκάλαις βαστάσασα μὴ παύσῃ δεομένη, ῥύσασθαι τοὺς ἐν πίστει τὸν λυτρωτὴν ἀναμέλποντας, ὁ τῶν Πατέρων ἡμῶν Θεὸς εὐλογητὸς εἶ.

Ὠδὴ, η'. Τὸν Βασιλέα τῶν Οὐρανῶν.

Ἅγιε τοῦ Θεοῦ πρέσβευε ὑπὲρ ἡμῶν.

Τὸν Ἱεράρχην, τοῦ Χριστοῦ μυστολέκτην, οἱ πιστοὶ προβαλλόμεθα Πρέσβυν, ὅπως τῇ δεήσει ἐκείνου λυτρωθῶμεν.

Ἅγιε τοῦ Θεοῦ πρέσβευε ὑπὲρ ἡμῶν.

Τοὺς Σοὺς ἀγῶνας, τίς ἐξειπεῖν δυνήσεται, ἐπὶ γῆς ἠγωνίσω Τρισμάκαρ, ἵνα τοῦ στεφάνου τύχῃς παρὰ Ὑψίστου.

Δόξα.

Τῶν ἐπιγείων Σὺ ὠλιγώρεις, Θεόφρον, τὴν ψυχὴν καθωράϊσας τῇ πίστει, ὅπως οὐρανίου τυχεῖν τῆς βασιλείας.

Καὶ νῦν.

ΑΔΕΙΟΣ ΒΙΒΛΙΟΘΗΚΗ — ΝΤΟΡΗΣ ΠΑΠΑΣ



Πρὸς τὸν Δεσπότην, Σὲ κεκτήμεθα Κόρη, ἰσχυράν τε Προστασίαν καὶ Σκέπην, ἵνα λυτρωθῶμεν ἐχθροῦ καὶ πάσης βλάβης.

Ὠδὴ, θ'. Κυρίως Θεοτόκον.

Ὡς μύρων εὐωδία, θέλγει τὰς καρδίας, ἡ Σὴ τρισόλβιος μνήμη Πάτερ πιστῶν, καὶ τῶν πταισμάτων παρέχεις τὴν ἄφεσιν.

Ἅγιε τοῦ Θεοῦ πρέσβευε ὑπὲρ ἡμῶν.

Τῇ χαρᾷ τοῦ Δεσπότου, ἧς νῦν ἀπολαύεις τοὺς ἀνυμνοῦντας Σὸν κλέος φαιδρύνεσθαι, Ἱερομύστα παμμάκαρ, πάντας ἀξίωσον.

Δόξα.

Λιμένα σωτηρίας, εὗρόν Σε Θεόφρον, οἱ ἐν θαλάσσῃ δεινῶς χειμαζόμενοι· ὅθεν ἀπαύστως ἐν ἐγκωμίοις γεραίρουσι.

Καὶ νῦν. Θεοτοκίον.

Χαρᾶς Σὺ ἐνέπλησας πάντων τὰς καρδίας τῶν προσιόντων Σῇ σκέπῃ, Θεόνυμφε, καὶ γὰρ κατηύγασας Κόσμῳ τὴν ἀπολύτρωσιν.

Καὶ εὐθὺς τὰ τῆς Θεοτόκου Μεγαλυνάρια.

Ἄξιόν ἐστιν ὡς ἀληθῶς, μακαρίζειν Σε τὴν Θεοτόκον κτλ.
Τὴν Ὑψηλοτέραν τῶν Οὐρανῶν κτλ.
Ἀπὸ τῶν πολλῶν μου ἁμαρτιῶν κτλ.
Δέσποινα καὶ Μήτηρ τοῦ Λυτρωτοῦ κτλ.

Καὶ τοῦ Ἁγίου τὰ ἐφεξῆς, τὰ μὲν δύω πρῶτα ληφθέντα ἐκ τῆς ἀκολουθίας τοῦ Ἁγίου, τὰ δὲ λοιπὰ εἰσὶ τοῦ Συγγραφέως τοῦδε τοῦ Κανόνος.

Ὀρφανῶν Προστάτην Σε καὶ χηρῶν πεινώντων τροφέα πενομένων τε πλουτιστὴν, αἰχμαλώτων ῥύστην πλεόντων τε σωτῆρα κεκτήμεθα Παμμάκαρ, Σοφὲ Νικόλαε.

Τὸν ἐν ἱεράρχαις θαυματουργὸν καὶ τὸν ἐν κινδύνοις ἀπρομάχητον βοηθὸν, τὸν θεῖον Ποιμένα καὶ λειτουργὸν Κυρίου Νικόλαον τὸν μέγαν πάντες τιμήσωμεν.

Τῆς Ὀρθοδοξίας μέγας φωστὴρ, καὶ τῆς Ἐκκλησίας ὁ ἀκάματος γεωργὸς, Συνόδου ἐν Νικαίᾳ τὸ καύχημα καὶ κλέος, Νικόλαε Θεόφρον, σκέπε τοὺς δούλους Σου.

Εὐφροσύνης πρόξενος τῶν πιστῶν, Νικόλαε Μάκαρ, ἡ φωσφόρος Σου

ἑορτή, ἣν μετ' εὐλαβείας καὶ πόθου ἀνεικάστου τιμῶντες εὐφημοῦμεν, καὶ σὲ γεραίρομεν.

Χαίροις Ἱεράρχα τερατουργὲ, χαίροις τῶν Μυραίων, ὦ Νικόλαε. χαρμονὴ, χαίροις πτωχευόντων τροφεὺς καὶ σωτηρία, καὶ τῶν χειμαζομένων λιμὴν ὁ εὔδιος.

Σὲ οἱ ἐν πελάγει, Νικόλαε, ῥεῖθρα τῶν θαυμάτων πελαγίζοντα ἔγνωσαν· οἱ ἐν γῇ δὲ, Πάτερ, ψυχὰς γεωπονοῦντα, ψυχῶν Σὲ καὶ σωμάτων ἔχοντες φύλακα.

Πᾶσαι τῶν ἀγγέλων αἱ στρατιαὶ κτλ.

Τὸ, Τρισάγιον κτλ. Ὁ ἱερεὺς, Ὅτι σοῦ. Τὰ Τροπάρια ἦχος πλ. β'. Ἐλέησον ἡμᾶς Κύριε. Δόξα. Κύριε ἐλέησον ἡμᾶς. Καὶ νῦν. Τῆς εὐσπλαγχνίας τὴν πύλην. Αἴτησις παρὰ τοῦ Ἱερέως. Ἐπάκουσον ἡμῶν ὁ Θεός. Καὶ μετὰ τὴν ἐκφώνησιν, ψάλλομεν τὰ παρόντα Ἐξαποστειλάρια.

Ἀπόστολοι ἐκ περάτων.

Τῶν Ὀρθοδόξων τὰ πλήθη, συναθροισθέντα ἐνθάδε, ἐν ὕμνοις τὸν Ἱεράρχην Νικόλαον νῦν γεραίρει, ὡς μυστολέκτην Τριάδος καὶ ἀντιλήπτορα Μέγαν.

Χειμαζομένων Προστάτα, καὶ ἀντιλῆπτορ ὀρφανῶν, τῆς Ἐκκλησίας τὸ κλέος, Νικόλαε Ἱεράρχα, μὴ διαλείπῃς τὸν Πλάστην ὑπὲρ ἡμῶν ἱκετεύων.

Θεοτοκίον.

Καὶ Σὲ μεσίτριαν ἔχω πρὸς τὸν φιλάνθρωπον Θεὸν, μή μου ἐλέγξῃ τὰς πράξεις ἐνώπιον τῶν Ἀγγέλων, παρακαλῶ Σε, Παρθένε, βοήθησόν μοι ἐν τάχει.

Εἶτα γίνεται ἡ ἀπόλυσις.

# ΒΙΒΛΙΟΚΡΙΣΙΑ.

Ἠρώτησάς με, φίλτατε Γεώργιε, τίνα γνώμην ἔχω, περὶ τοῦ πρὸ μικροῦ ἐκδοθέντος «Παρακλητικοῦ Κανόνος τοῦ ἐν Ἁγίοις Πατρὸς ἡμῶν Νικολάου, συντεθέντος ὑπὸ Νικολάου Ἀναγνώστου Καλογέρου». Καὶ τότε μὲν οὐδὲν περὶ τούτου σοι εἶπον, οὐδὲ κρίσιν περὶ τούτου ἐξήνεγκον, ἀναμένων ἵνα τις τῶν μᾶλλον ἐμοῦ ἐμπείρων εἴπῃ τὰ δέοντα. Νῦν δὲ ὅτε σιωπὴ πάντας κατέχει, αἰδοῖ ἴσως τοῦ προκαθημένου τῆς πνευματικῆς νηὸς, καὶ κινδυνεύει ἡ Ἐκκλησία ἵνα διὰ τῆς Ἀρχιεπισκοπικῆς ἐπιδοκιμασίας τοῦ κανόνος τούτου, δέξηται, καίτοι ἀκουσίως, δόγματα ὅλως ἀντίθετα πρὸς ἃ ἡμῖν παρέδωκαν οἱ θεῖοι πατέρες· λύω τὴν σιωπὴν, καὶ μετὰ Χριστιανικοῦ ζήλου, ἅμα δὲ καὶ ἀπεχόμενος πάσης προσωπικότητος δυναμένης βλάψαι τοῦτον ἢ ἐκεῖνον, ἐκφέρω οὐχὶ πλέον γνώμην ἢ ἁπλῆν κρίσιν, ἀλλὰ πλήρη καὶ ἀκριβῆ ἐπίκρισιν, ἵνα τοὺς μὲν ἀμαθεστέρους διδάξω οἷα περιέχει ὁ κανὼν οὗτος, καὶ οἵας τιμῆς ἐστιν ἄξιος· τοὺς δὲ σοφωτέρους καταστήσω προσεκτικωτέρους εἰς τὰ καθ' ἕκαστα τῆς συγγραφῆς ταύτης, ἵνα ἴδωσι τίνα διδάσκει ἡμᾶς ὁ αὐτοσχέδιος αὐτῆς συγγραφεὺς, ὅστις σκεπόμενος ὑπὸ τῆς Ἀρχιεπισκοπικῆς αἰγίδος, οὐδαμῶς ἐνδοιάζει ἵνα θεωρῇ ἑαυτὸν, νέον τινὰ Ἰωάννην Δαμασκηνὸν ἢ ἄλλον Κοσμᾶν, τὴν ῥῖνα ῥυτιδούμενος καὶ κλαθμυρίζων ἐν τῷ λαλεῖν. Ἡ ἡμετέρα δὲ ἐπίκρισις ἔσεται τριπλῆ, ὡς τριπλῶς ἐξετάζεται ἕκαστος ὑμνογράφος α'.) ὡς Θεολόγος β'.) ὡς Ἕλλην τὸν λόγον καὶ τὴν ὑφὴν, γ'.) ὡς Μουσικός.

Καὶ πρῶτον ἐξετάσωμεν αὐτὸν ὡς Θεολόγον.

Ὁ ἡμέτερος ὑμνογράφος οἱονεὶ κορυβαντιῶν ὑπὲρ τοῦ Ἁγίου Νικολάου, καὶ ἐπιλαθόμενος ὅτι λαλεῖ περὶ Ἁγίου ἀνθρώπου, καὶ οὐχὶ περὶ Θεοῦ, συνεπεσώρευσεν αὐτῷ φύρδην καὶ ἀναρμόστως οὐ μόνον ὅσα ἐπίθετα κατὰ νοῦν εἶχεν, ἀλλὰ καὶ θεϊκὰς ἰδιότητας αὐτῷ ἀπέδωκε. Διὸ ἐν τῷ πρώτῳ «Δόξα», οὕτω πρὸς αὐτὸν λέγει, «πρόφθασον ἐξελοῦ ἡμᾶς τῶν τοῦ βίου κλυδώνων καὶ πειρασμῶν, καὶ τῆς βασιλείας ἡμᾶς καταξίωσον.» Ἀλλὰ τί πλέον καταλείπεται τῷ Θεῷ, ὦ διδάσκαλε;

Ἐν τῷ δευτέρῳ τροπαρίῳ τῆς γ'. Ὠδῆς, λέγει τὸν Ἅγιον Νικόλαον ἐν Συνόδῳ παραστάντα, καὶ χρηματίσαντα Τριαδικὸν Θεολόγον. Νέον ἐπίθετον τοῦτο ἀπονεμόμενον τῷ Ἁγίῳ Νικολάῳ ὑπὸ μόνου τοῦ πατρὸς Καλογέρου· καίτοι μέχρι τοῦδε οὐδεὶς τῶν τῆς

Ἐκκλησίας Πατέρων ἠξιώθη τῆς τοιαύτης ἐπωνυμίας, πλὴν τοῦ Ναζιανζηνοῦ Γρηγορίου. Ἀλλ᾽ ἀναμφιβόλως ὁ ἡμέτερος ὑμνογράφος οὐκ οἶδε μέσον ἀληθοῦς ἐπαινέτου καὶ κόλακος· διὸ ἑπόμενος τῇ ἑαυτοῦ φύσει, ἐγκωμιάζων τὸν Ἅγιον, ἐνόμιζεν ὅτι διετέλει συντάττων, τὴν ἐπιστολὴν ἐκείνην, δι᾽ ἧς ᾔτει ἵνα ἐπιτραπῇ αὐτῷ, ἡ ἔκδοσις τοῦ ἑαυτοῦ κανόνος.

Ἐν τῷ πρώτῳ τῆς ε΄. ὁ Ἅγιος Νικόλαος ἀνεδείχθη «ἱλασμὸς τῶν ἀνυμνούντων αὐτόν.»

Ἐν τῷ «Δόξα» τῆς αὐτῆς, ἀπονέμει ἀέναον χάριν καὶ λύτρωσιν. Ἀλλὰ λίαν θαυμάζω, ὦ διδάσκαλε, ὅτι, οὐ λέγω τὰ βαθέως ἐν ταῖς Γραφαῖς κείμενα, ἀλλὰ τὰ ἀδιαλείπτως καὶ καθ᾽ ἑκάστην ἡμέραν ἐν τοῖς ἱεροῖς ναοῖς ἐπαναλαμβανόμενα, οὐ λαμβάνεις κατὰ νοῦν, ἵνα μάθῃς, ὅτι ὁ μὲν ἱλασμὸς, ἡ λύτρωσις, τὸ σῶσον καὶ τὰ τοιαῦτα, ἴδιά εἰσι τῷ Θεῷ καὶ οὐχὶ τοῖς Ἁγίοις. Διὸ ἐν μὲν τῇ πρώτῃ εἰσόδῳ ἀπαύστως ἀκούεις, σῶσον ἡμᾶς υἱὲ Θεοῦ, σῶσον ἡμᾶς παράκλητε ἀγαθὲ, πρεσβείαις τῶν Ἁγίων σου σῶσον ἡμᾶς Κύριε, ὅπερ σῶσον νομίζω, οὐδὲν διαφέρει τοῦ λύτρωσον, καὶ ἀπονέμειν λύτρωσιν. Ὁ δὲ Τελώνης στερνοτυπούμενος ἐβόα. «Ὁ Θεὸς ἱλάσθητί μοι τῷ ἁμαρτωλῷ.» Τὸ δὲ ἱλάσθητί μοι Σωτὴρ,» πρὸς ὃ μελοποιοῦνται τὰ πλεῖστα τῶν τροπαρίων τῆς ϛ΄. Ὠδῆς, τοῦ πλ. δ΄. ἤχου· οὕτω συχνάκις ἀπαντᾶται· ὥστε καὶ σὺ αὐτὸς τούτου χρῆσιν ἐποιήσω, ἀλλ᾽ ὡς τρανῶς δείκνυται ἐν ἐκστατικῇ καταστάσει ὤν. «Ἡ δὲ χάρις, ἥτις κατὰ τὸν ἱερὸν Οἰκουμένιον, ἡ τοῦ υἱοῦ ἐστιν, ὅ ἐστι τοῦ Χριστοῦ, δι᾽ ἧς ἔσωσεν ἡμᾶς, οὐκ ἐξ ἔργων ἡμετέρων, ἀλλὰ χάριτι καὶ ἰδίοις οἰκτιρμοῖς, σφαγεὶς αὐτὸς ὑπὲρ ἡμῶν (α), οὐ δίδοται διδάσκαλε ὑπὸ τῶν Ἁγίων ἀλλ᾽ ὑπ᾽ αὐτοῦ τοῦ Χριστοῦ ὡς ὁ ἐπιστήθιος Ἰωάννης σαφῶς λέγει· «ἡ χάρις καὶ ἡ ἀλήθεια διὰ Ἰησοῦ Χριστοῦ ἐγένετο (κεφ. ά. 5.)» (β).

Οἱ δὲ Ἅγιοι ὡς ἐκπληρώσαντες κατὰ πάντα πιστῶς καὶ ἀκριβῶς τὰ θεῖα προστάγματα, καὶ ἐπικρατήσαντες τῶν παθῶν, φυλάξαντες ἀπαραχάρακτον τὴν θείαν εἰκόνα καὶ ὁμοίωσιν, κατηξιώθησαν οἱ μακάριοι, ἵνα, κατὰ τὸν Ἅγιον Δαμασκηνὸν Ἰωάννην, «δι᾽ αὐτῶν πᾶσα

---

(α) Οἰκουμ. Τόμ. δ΄. ἔκδοσ. Φαρμ. ἐν Ἀθήν. 1843 σελ. 384.

(β) Τίνα δὲ ἄλλην χάριν ταύτης φαντάζεσαι ἐνταῦθα, διδάσκαλε, ἐλπίζομεν ὅτι θέλομεν παρὰ σοῦ διδαχθῇ, διά τινος συγγράμματος ἐμβριθεστέρου τε καὶ σπουδαιοτέρου, διότι ὁ περὶ οὗ ὁ λόγος κανὼν, «πρωτόλειον καὶ ἀπαρχή ἐστι τῶν περὶ τὰ ἱερὰ γράμματα μελετημάτων σου.»



δόσις ἀγαθὴ ἐκ τοῦ Πατρὸς τῶν φώτων τοῖς ἀδιστάκτῳ πίστει αἰτοῦσι κατίῃ.» (α) Ὥστε οὐδὲν ἕτερον ἔχουσιν, εἰ μὴ τὴν δύναμιν τοῦ κατορθοῦν διὰ τῶν ἑαυτῶν πρεσβειῶν, ὅπως παρὰ Θεοῦ λαμβάνωμεν ὅσα εἰσὶν ἡμῖν ὠφέλιμα καὶ σωτήρια.

Ἐν δὲ τῷ πρώτῳ τῆς ζ΄. ὁ αὐτὸς Ἅγιος Νικόλαος, χειροτονεῖται ὑπὸ τοῦ πατρὸς Καλογέρου, ἐξ ὁμοδούλου Δεσπότης, καὶ αἰτεῖται ἵνα δέξηται τὰς δεήσεις ἡμῶν τῶν δούλων αὐτοῦ, καὶ ἀπαλλάξῃ ἡμᾶς κινδύνων, οὐχὶ ταῖς ἑαυτοῦ μεσιτείαις ἢ πρεσβείαις, ἀλλ᾽ αὐτοδεσπότως καὶ ὡς δεσπότης δούλους. Καὶ ὁ μὲν πατὴρ Καλόγερος τοὺς Ἁγίους χειροτονεῖ Δεσπότας, ὁ δὲ οὐρανοφάντωρ Βασίλειος, ἴσως ὑποδεέστερος τοῦ Καλογέρου κατὰ τὴν πολυμάθειαν, καλεῖ αὐτοὺς ἡμῖν ὁμοδούλους, Δεσπότην δὲ τὸν τῶν ὅλων Θεὸν, οὕτως ἀρχόμενος τοῦ λόγου εἰς τοὺς τεσσαράκοντα Μάρτυρας. «Μαρτύρων μνήμης τίς ἂν γένοιτο κόρος τῷ φιλομάρτυρι; διότι ἡ πρὸς τοὺς ἀγαθοὺς τῶν ὁμοδούλων τιμὴ, ἀπόδειξιν ἔχει τῆς πρὸς τὸν κοινὸν Δεσπότην εὐνοίας.» (β)

Ἀλλὰ μέχρι τοῦδε ὁ ἡμέτερος ὑμνογράφος καί τοι θεϊκὰς προσηγορίας ἀπένεμε τῷ Ἁγίῳ Νικολάῳ, ὅμως ἔχρῃζε πολλὰ προσεκτικοῦ ἀναγνώστου πρὸς γνώρισιν τούτων· ὅπερ μὴ ἀνεχόμενος, φόβῳ παρεξηγήσεως ἴσως, καὶ νομίζων ἀτόπημα εἰ μὴ ἅπαξ καὶ διὰ παντὸς γνωστὸν ποιήσῃ τὸ εὐσεβὲς αὐτοῦ φρόνημα, πεπαῤῥησιασμένως καὶ ὡς μέγας δογματιστὴς λέγει τῷ Ἁγίῳ Νικολάῳ.

«Ὡς μύρων εὐωδία, θέλγει τὰς καρδίας, ἡ Σὴ τρισόλβιος μνήμη πάτερ πιστῶν, καὶ τῶν πταισμάτων παρέχεις τὴν ἄφεσιν.»

Ὀρθόδοξος τῷ ὄντι καὶ διδακτικὴ ἔκφρασις, εἰς εὐσέβειαν ἄγουσα, καὶ διδάσκουσα ὀρθοτομεῖν τὸν λόγον τῆς εὐσεβείας, καὶ διὰ τοῦτο τυχοῦσα ἀρχιεπισκοπικῆς ἐπιδοκιμασίας!

Ἀλλὰ τίς σε, ὦ ἐμβρόντητε, ἐδίδαξεν ἵνα οὕτω τιμᾷς ἢ μᾶλλον ἀτιμάζῃς τοὺς ἀληθεῖς δούλους τοῦ Θεοῦ; ποῖον χωρίον τῆς Ἱερᾶς Γραφῆς; τίς Σύνοδος; ἀλλὰ τῶν Πατέρων τίς; ἴσως σε παρέσυρεν ἡ στρεβλὴ ἑρμηνεία ἣν σὺ ἔδωκας ἢ ἄλλος τις σοῦ σοφώτερος εἰς τὰ Γραφικὰ χωρία, «ὅσα ἂν δήσητε ἐπὶ τῆς γῆς, ἔσται δεδεμένα ἐν τῷ οὐρανῷ· (γ) καὶ «λάβετε πνεῦμα ἅγιον· ἄν τινων ἀφῆτε τὰς ἁμαρτίας ἀφίενται αὐτοῖς, ἄν τινων κρατῆτε κεκράτηνται» (δ) καὶ ὅσα

---

(α) Ἔκθ. πίστ. Ἰωάνν. Δαμασκ. βιβλ. δ΄. ιβ΄.
(β) Τόμ. γ΄. σελ. 508 ἔκδ. Μιγν.
(γ) Ματθ. ιη΄. 18. (δ) Ἰωάνν. κ΄. 22—23.

τοιαῦτα ἐν ταῖς θείαις Γραφαῖς ἀπαντῶνται. Ἀλλ' ὅμως ἡ ἑρμηνεία, διδάσκαλε, τῶν χωρίων τούτων, ἐδόθη ἀμέσως ὑπ' αὐτῶν ἐκείνων οἵτινες ἔλαβον τὴν ἐξουσίαν τοῦ δεσμεῖν τε καὶ λύειν. Καὶ ὁ μὲν ἐπιστήθιος Ἰωάννης οὕτω λέγει. «Ἐὰν δὲ τῷ φωτὶ περιπατῶμεν.... καὶ τὸ αἷμα Ἰησοῦ Χριστοῦ τοῦ υἱοῦ αὐτοῦ καθαρίζει ἡμᾶς ἀπὸ πάσης ἁμαρτίας», καὶ μετ' ὀλίγα, «Ἐὰν ὁμολογῶμεν τὰς ἁμαρτίας ἡμῶν, πιστός ἐστι καὶ δίκαιος (ὁ Χριστὸς δῆλον ὅτι), ἵνα ἀφῇ τὰς ἁμαρτίας ἡμῶν» (α) ὁ δὲ Ἰάκωβος ἐν κεφ. Ε'. ς. 16. τῆς ἑαυτοῦ ἐπιστολῆς. «Ἐξομολογεῖσθε ἀλλήλοις τὰ παραπτώματα, »λέγει« καὶ εὔχεσθε (τῷ Θεῷ) ὑπὲρ ἀλλήλων ὅπως ἰαθῆτε.» Ἀλλὰ καὶ αἱ τοῦ ἐξομολογοῦντος Ἱερέως λέξεις πρὸς τὸν ἐξομολογούμενον τὴν αὐτὴν ἀποδιδόασιν ἔννοιαν. «Τέκνον μου πνευματικὸν οὐκ ἰσχύω ἀφιέναι ἁμάρτημα ἐπὶ τῆς γῆς, εἰ μὴ ὁ Θεός· διὰ δὲ τὴν θεόλεκτον φωνὴν τὴν πρὸς τοὺς Ἀποστόλους γενομένην καὶ λέγουσαν. Ἄν τινων ἀφῆτε, (καὶ τὰ ἑξῆς)· εἰς ἐκείνην καὶ ἡμεῖς θαῤῥοῦντες λέγομεν. Ὅσα ἐξεῖπες τῇ ἐμῇ ἐλαχίστῃ ταπεινότητι, καὶ ὅσα οὐκ ἔφθασας εἰπεῖν.... ὁ Θεὸς συγχωρήσοι σοι, ἐν τῷ νῦν αἰῶνι καὶ ἐν τῷ μέλλοντι.» Ἐξ ὧν διατρανοῦται ὅτι ἡ ἄφεσις τῶν ἁμαρτιῶν δίδοται διὰ προσευχῆς καὶ ἐξομολογήσεως καθαρᾶς, καὶ ὅτι οὔτε Ἄγγελοι οὔτε Ἅγιοι οὔτε αὐτὸς ὁ ἀπολύων Ἱερεὺς ποιεῖ τοῦτο αὐτοδεσπότως καὶ ἀφ' ἑαυτοῦ, ἐπειδὴ ἡ ἄφεσις ἣν αὐτὸς δίδωσι, μὴ ἐπικυρουμένη ὑπὸ τοῦ μόνου ἔχοντος ἐξουσίαν ἀφιέναι ἁμαρτίας, οὐ μόνον οὐκ ἀπολύει τὸν ἐξομολογούμενον, ἀλλὰ καὶ τὸν ἐξομολογοῦντα Ἱερέα τῇ ἐσχάτῃ τιμωρίᾳ ὑποβάλλει (β).

Ἀλλ' ὁ ἡμέτερος ὑμνογράφος γράφων ταῦτα, ὀρθοδόξως ἐφρόνει, καὶ οὐδέποτε ἐν τῷ νῷ αὐτοῦ εἰσεχώρησεν ἰδέα κακόδοξος. Εὐπρόσωπος τῷ ὄντι ἀπολογία αὕτη, καὶ κατάλληλος παντὶ βλασφημοῦντι· ἀλλ' οὐδὲν τοῦτο πρὸς ἀνθρώπους, οἵτινες ἐξηγοῦσι τὰ συγγράμματα ἑκάστου, ἐξ ὅσων γράφει, καὶ οὐχὶ ἐξ ὅσων ἐννοεῖ, ἐπειδὴ τοῦτο μόνῳ Θεῷ ἐφικτόν.

Ἀλλ' ἐπεθύμουν, Πάτερ Καλόγερε, ἵνα με διδάξῃς, ὑπὸ τίνος οἴστρου κεντούμενος τὰ τοιαῦτα ἐτερατολόγησας; καὶ διὰ τί οὐκ ἠρκέσθης εἰς ὅσα περὶ Ἁγίου Νικολάου ἄτοπα εἶπες, ἀλλὰ καὶ τὴν Θεομήτορα μετέστησας τῆς χώρας ἐν ᾗ ἀπ' ἀρχῆς αὐτὴ ἑαυτὴν ἐνέταξε,

---

(α) Ἰωάνν. Ἐπιστ. α'. α'. 7. 9.

(β.) Ἰδὲ τὴν πρὸς Ζώσιμον ἐπιστολὴν, Ἰσιδώρου τοῦ Πηλουσιώτου. Βιβλ. γ'. Ἐπιστ. σε'.



καὶ ἡ Ἐκκλησία ἐπιδοκιμάσασα ἐγκύρως ὡρίσατο; Ὅλως ἄπειρος εἶς τῆς ἱερᾶς παραδόσεως, ὅτι μέλλουσα ἡ Θεοτόκος ἵνα μεταστῇ πρὸς τὸν ἑαυτῆς Υἱὸν καὶ Θεὸν, δεήσεις ἐποιήσατο ὑπὲρ συστάσεως κόσμου καὶ εἰρηνικῆς διαγωγῆς; (α) Ὅλως ἄπειρος εἶς, τῶν ἱερῶν ᾀσμάτων τῶν αὐτῇ μελοποιηθέντων ὑπὸ τῶν ἱερῶν ᾀσματογράφων; Πρὸς Θεοῦ, πάτερ Καλόγερε, πῶς σοι ἐγένετο τοῦτο! Ἐπιχειρεῖς ἵνα μιμηθῇς «κατά τε τὸ ὕφος καὶ τὴν σύνθεσιν τοὺς ἀρχαίους ὑμνογράφους,» καὶ ἀγνοεῖς τί αὐτοὶ εἶπον; Παράδοξον φαινόμενον καὶ πρωτοφανὲς, ὡς κατὰ πρῶτον συμβαῖνον τῷ πρωτοφανεῖ πατρὶ Καλογέρῳ. Καὶ αὐτοὶ μὲν ἀδιαλείπτως προβάλλονται αὐτὴν ὡς μεσίτριαν, ἐπαναλαμβάνοντες ἀπαύστως, τὸ δυσώπει, ἱκέτευε, πρέσβευε, καὶ τὰ τοιαῦτα· σὺ δὲ οἱονεὶ διδάσκαλος νέας τινὸς διδασκαλίας καὶ μόνῳ σοὶ ἀποκαλυφθείσης, εἰσάγεις ὅλως νέαν δοξασίαν ἐν τῷ σῷ κανόνι, καὶ αὐτόχρημα γέννημα τῆς σῆς ἐξῳδηκυίας κεφαλῆς. Διὸ, ἐν τῷ Θεοτοκίῳ τῆς α'. Ὠδῆς, αἰτεῖς παρ' αὐτῆς, «ἀποκάθαρσιν κηλίδων καὶ πάσης ἁμαρτίας.» Ἐν τῷ τῆς γ'. τὸ αὐτὸ πράττεις. Ἐν δὲ τῷ τῆς δ'. αἰτεῖς παρ' αὐτῆς ὀφλημάτων συγχώρησιν, καὶ τῆς βασιλείας καταξίωσιν.

Ἀλλ' ὁ πατὴρ Καλόγερος, ἴσως τις ἤθελεν ἀπαντήσει, καί τοι κακῶς καὶ ἀνορθοδόξως ἐκφράζεται ἐνιαχοῦ τῆς συγγραφῆς αὐτοῦ, πλὴν ἐνίοτε καὶ ὀρθοτομεῖ, καὶ ὅτι διὰ τῶν ὀρθῶν πρέπον ἐστὶν ἵνα ἑρμηνεύωνται τὰ στρεβλὰ, καὶ οὐχὶ διὰ τῶν στρεβλῶν τὰ ὀρθά· ἔπεσε δὲ εἰς ἄτοπα οὐχὶ ἐκ προαιρέσεως ἀσεβοῦς, ἀλλὰ μᾶλλον «ὑπὸ θείου ζήλου ὑφ' οὗ ἐνεφορεῖτο» πλέκων ἐγκώμια τῷ Ἁγίῳ καὶ τῇ Θεοτόκῳ, διὸ ἐπήδησεν ὑπὲρ τὰ ἐσκαμμένα, καὶ ἡ ὑπερβολὴ τοῦ ζήλου ὑπερβᾶσα τὰ λογικὰ ὅρια, τυχὸν προσήγγισε τῇ γείτονι αὐτῷ νόσῳ. Ναί. Ἀλλὰ τοῦτο οὔτε τὸν συγγραφέα οὔτε τὸ αὐτοῦ πόνημα ἀπαλλάττει τῆς ἐπὶ βλασφημίᾳ μομφῆς. Ὠριγένης ὁ μέγας Ἐκκλησιαστικὸς συγγραφεὺς ὁ ἕνεκα τῶν πολλῶν καὶ σοφῶν αὐτοῦ συγγραμμάτων ἐπικληθεὶς Χαλκέντερος, καὶ Εὐσέβιος Παμφίλου ὁ Ἡρόδοτος τῆς Ἐκκλησιαστικῆς Ἱστορίας, καί τοι πολλὰ ἐν τοῖς πλείστοις τῶν οἰκείων συγγραμμάτων εὐσεβῆ διδάγματα ἡμῖν κατέλιπον, ὅμως οὐδέτερος τούτων συγκατατάττεται ἐν τοῖς εὐσεβοφρονοῦσι Πατράσι τῆς Ἐκκλησίας· καὶ τοῦτο ἕνεκα διδασκαλιῶν τινων σποράδην ἐῤῥιμμένων ἐν τοῖς πονήμασιν αὐτῶν, οὐ συνᾳδουσῶν πρὸς ἣν ἀπ' ἀρχῆς διδασκαλίαν ἡ Ἐκκλησία παρεδέξατο. Ἀλλὰ μὴ πρὸς

---

(α) Μην: 15 Αὐγούστου, Συναξάριον.

Θεοῦ, ὦ διδάσκαλε, νομίσῃς, ὅτι διὰ τοῦ ἱστορικοῦ τούτου, προτίθεμαι ἵνα σε παραβάλω πρὸς τοὺς μεγίστους ἐκείνους διδασκάλους, μὴ οὕτω μανείην, ἀλλ' ἵνα, συγκρίνων γεγονὸς πρὸς γεγονὸς, δείξω ὅτι καί τοι εὐσεβῆ τινα ἐμπεριέχει ὁ σὸς κανὼν, ἀλλ' ὅμως ἀποῤῥιπτέος ἐστὶν ἕνεκα τῶν ἀπαντωμένων δυσσεβῶν ῥήσεων, ἃς ἤδη γνωστὰς ἐποιήσαμεν.

Ἀλλ' ἐξετάσαντες αὐτὸν ὡς Θεολόγον, ἐξετάσωμεν καὶ ὡς Ἑλληνιστήν.

Ἐν τῷ πρώτῳ τροπαρίῳ τῆς α'. ᾠδῆς, ἡ λέξις «σωτηρίαν» μένει ἐκκρεμὴς καὶ ἀναπόδοτος, ὡς καὶ ὁ πρὸ αὐτῆς σύνδεσμος «τε».

Τὸ πρῶτον τῆς δ'. ἔχει οὕτως.

«Σὺ προστάτης γενόμενος, πάντα τὸν ἐν θλίψει κατατρυχόμενον μεσιτείαις σου ἀπάλλαξον, δι' ἧς πάντας τρέφεις τοὺς τιμῶντάς σε.»

Ἐνταῦθα ἀπαιτεῖται ἵνα μάθωμεν, «τὸ ἀπάλλαξον» ποῦ ἀποδίδοται· ἡ δὲ Ἀντωνυμία «ἧς» ποῦ ἀναφέρεται.

Τὸ Θεοτοκίον τῆς αὐτῆς ἔχει οὕτως.

«Ἱκετεύω σε Δέσποινα, σὺν τῷ Νικολάῳ προσδέχου δεήσεσιν, ὀφλημάτων μου συγχώρησιν, καὶ τῆς βασιλείας καταξίωσον.»

Ἐν τῷ τροπαρίῳ τούτῳ τὸ μὲν «ἱκετεύω» μένει ἀναπόδοτον, αἱ δὲ λέξεις «σὺν τῷ Νικολάῳ προσδέχου δεήσεσιν,» ὡς οὖσαι ὅλως ξέναι πρὸς τὰ λοιπὰ τοῦ τροπαρίου, καὶ ἐντεῦθεν οὐδένα νοῦν ἔχουσαι, ἀνάγκη ἵνα ἀναρτηθῶσιν ὡς ὅρμος περὶ τὸν τράχηλον τοῦ «τοὺς ἀρχαίους ὑμνογράφους κατά τε τὸ ὕφος καὶ τὴν σύνθεσιν μιμουμένου» συγγραφέως αὐτῶν. Ἀλλὰ καὶ ἡ σύνταξις ἔχει κάλλιστα. «Ἱκετεύω σε Δέσποινα ὀφλημάτων μου συγχώρησιν, καὶ τῆς βασιλείας καταξίωσον.»

Τὸ ἐνεπιστεύθη ὅπερ κεῖται ἐν ἀρχῇ τοῦ πρώτου τροπαρίου τῆς ϛ'. οὐδέποτε ἐν Παθητικῷ χρόνῳ τίθεται ἐπὶ τοῦ διδόντος, ἀλλ' ἐπὶ τοῦ λαμβάνοντος.

Ἐν τῷ δευτέρῳ τῆς αὐτῆς, κεῖται πληθυντικὴ γενικὴ, «ἀτρύτων ἀγώνων σου·» ἥτις ὡς δείκνυται ἐκ τῆς ὑφῆς τοῦ λόγου, κεῖται ἀντὶ ὀργανικοῦ αἰτίου ὑπονοουμένης τῆς, διὰ, προθέσεως. Ἀλλὰ πόθεν ἡ παράλειψις αὕτη τῆς, διὰ, ἐν γενικῇ πτώσει, ὅλως ἀγνοοῦμεν.

Ἐν τῷ δευτέρῳ τῆς ή. ἀπαιτεῖται ἡ ἀντωνυμία, οὓς, ἵνα ὁ νοῦς εὐοδωθῇ, οὕτω δὲ ἔχων χωλαίνει. Ἀλλὰ καὶ τὸ «Δόξα» τῆς ή. ὄζει συντακτικῆς εὐωδίας. Ἐπειδὴ ὡς καταδείκνυται, ἐπέπρωτο τῷ δυσδαίμονι ᾀσματογράφῳ τούτῳ, ἵνα ἐν τοῖς τελευταίοις πάντοτε καθιστᾷ πασιφανεστέραν τὴν πολυμάθειάν του! Λέγει δὲ οὕτω.

«Τῶν ἐπιγείων σὺ ὠλιγώρεις, Θεόφρον, τὴν ψυχὴν καθωραΐσας τῇ πίστει, ὅπως οὐρανίου τυχεῖν τῆς βασιλείας.»



Πρωτοφανὴς τῷ ὄντι σύνταξις! Ἐπειδὴ ὅτι τὸ μόριον ὅπως, ὡς τελικὸν λαμβανόμενον, συντάσσεται ἄλλοτε μὲν πρὸς ὑποτακτικὴν, ἄλλοτε δὲ πρὸς εὐκτικὴν, οἴδαμεν· ποῦ ὅμως καὶ πότε, πρὸς ἀπαρέμφατον, τοῦτο ἐναπόκειται τῷ φιλομούσῳ ἡμῶν ᾀσματογράφῳ ὅπως διδάξῃ.

Ἀλλ' ἴδωμεν νῦν αὐτὸν καὶ ὡς μουσικόν. Πλὴν ἐπειδὴ ἡ Μουσικὴ ὑπ' ὀλιγίστων γινώσκεται διὰ τοῦτο ἀποτείνομαι πρὸ πάντων πρὸς αὐτοὺς, ἵνα λαβόντες μετὰ χεῖρας τὸ σύντομον Εἱρμολόγιον τοῦ Βυζαντίου Πέτρου, ὅπου κεῖνται οἱ Εἱρμοὶ πρὸς οὓς κανονίζονται οἱ κανόνες, καὶ παραβαλόντες τὸν Παρακλητικὸν κανόνα τοῦ πατρὸς Καλογέρου πρὸς τὰ ἐν ἐκείνῳ, οὕτω κρίνωσιν εἰ ἡ ἐμὴ κρίσις ἐστὶν ἀκριβὴς καὶ ἀμερόληπτος ἢ τὸ ἐναντίον.

Τὸ πρῶτον «Δόξα» οὐδόλως ψάλλεται, ἂν θέλῃ τις ἵνα ψάλλῃ αὐτὸ πρὸς τὸ «Ὁ Ὑψωθεὶς ἐν τῷ σταυρῷ·» πρὸς ὃ οἱ ἀληθεῖς ὑμνογράφοι ἐμελοποίησαν τὰ δύο πρῶτα τροπάρια τῆς Παρακλήσεως τῆς Θεοτόκου· δηλ. τὸ «τῇ Θεοτόκῳ» καὶ τὸ «οὐ σιωπήσομεν.»

Τὸ πρῶτον τροπάριον τῆς γ'. Ὠδῆς, ἀπὸ τοῦ «Ἀρχιερεὺς» μέχρι «διδάγματα,» βαίνει βεβιασμένως καὶ ἀῤῥύθμως.

Τὸ δεύτερον τῆς αὐτῆς ἔχει ὡσαύτως ἐν ταῖς λέξεσι «πᾶσαν τε τῶν αἱρέσεων πλάνην κατῄσχυνας·» αἵτινες ἵνα ἔλθωσιν εἰς μουσικὰ μέτρα, ἀνάγκη ἵνα ἀφαιρεθῇ καθ' ὅλου ὁ «τε» ἧς κατέχει χώρας, καὶ λέξις δισύλλαβος παρεντεθῇ μεταξὺ τοῦ ὀνόματος «πλάνην» καὶ τοῦ ῥήματος «κατῄσχυνας.»

Ἐν τῷ «καὶ νῦν» τῆς αὐτῆς, τὸ κατηραμένον παροξύτονον «πάντας» συγχέει τὰ πάντα, ὅπερ ἀντικαθιστάμενον δι' ὀξυτόνου, ὡς λ. χ. διὰ τοῦ, παντὸς, μεταβαλλομένης καὶ τῆς πληθυντικῆς γενικῆς ἐκ κινδύνων εἰς ἑνικὴν, ἐκ κινδύνου, ἤθελε, νομίζω, ῥυθμίσει τὴν πορείαν τοῦ μέτρου καὶ τὸ τροπάριον ἤθελε ψάλλεσθαι μουσικῶς τε καὶ ἐῤῥύθμως.

Τὸ δεύτερον τῆς δ', βαδίζει ὡς καρηβαροῦν ὑπὸ κραιπάλης, ὡσαύτως δὲ καὶ τὸ τέταρτον.

Τὸ «Δόξα» τῆς ε'. τὰ αὐτὰ πάσχει ἐν τῷ τέλει.

Τὸ Κοντάκιον κατέχεται ὑπὸ παραφορᾶς.

Τὸ δεύτερον τῆς ζ'. καλῶς οὐ ψάλλεται, εἰ μὴ μεταβληθῶσιν αἱ λέξεις «τὰ φρυάγματα,» εἰς, τὸ φρύαγμα.

Τὸ «καὶ νῦν» τῆς αὐτῆς, οὐχ ὑγιαίνει.

Τὸ δεύτερον τῆς ή. κακὸν τέλος ἔχει.

Τὸ δὲ «καὶ νῦν» τῆς θ'. οὕτως ἄρχεται, ὥστε ἵνα τύχῃ ἐντελοῦς ἰάσεως, χρῄζει ἐλλεβόρου· ὡς καὶ ὁ συγγραφεὺς αὐτοῦ· ἵνα ὁ τάλας

ἀπαλλαχθῇ τῆς ἀλαζονείας δι' ἣν κακῶς διάκειται.

Καὶ τοιαύτη, ὦ φίλτατε Γεώργιε, ἡ ἡμετέρα ἐπίκρισις τῶν σπουδαιοτέρων ἁμαρτημάτων, εἰς ἃ ἔπεσεν ὁ συγγραφεὺς τοῦ κανόνος τούτου, ὁ παρὰ τοῦ προϊσταμένου τῆς Ἐκκλησίας, ἀγνοοῦμεν διὰ τί, προσαγορευθεὶς δὶς λογιώτατος καὶ ἅπαξ ἐλλόγιμος. Θέλομεν δὲ ἴσως πάλιν ἐπανέλθει, ἐπειδὴ τυχὸν ὁ πατὴρ Καλόγερος ὅστις, ὡς λέγουσιν,

. . . . . ἐντὶ δὲ πικρὸς
καί οἱ ἀεὶ δριμεῖα χολὰ ποτὶ ῥινὶ κάθηται.
Θεόκρ. Εἰδύλλ. Α'. 17. 18.

δὲν θέλει ἀνεχθῆ ἵνα τὸ ἑαυτοῦ σύγγραμμα προσβάλληται οὕτως ἀναφανδὸν, ἐνῷ τοιαῦται καὶ τοσαῦται προστασίαι τε καὶ συστάσεις αὐτὸ περιβάλλουσιν.

Ἔῤῥωσο

Σ. Π. Μ.

Ἐν Κερκύρᾳ, τῇ 8 Σεπτεμβρίου 1871

---

Τυπογραφεῖον «Ἀθηνᾶ»

ΓΕΝΝΑΔΕΙΟΣ ΒΙΒΛΙΟΘΗΚΗ
ΣΥΛΛΟΓΗ ΝΤΟΡΗΣ ΠΑΠΑΣΤΡΑΤΟΥ